UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Ekklēsiastēs Solomōntos Emmetrōs Metaphrastheis

**Dolscius, Paul**

**Lipsiæ, 1559**

**VD16 B 3639**

Κεφα. ια.

urn:nbn:de:hbz:466:1-69711

Visual Library

Βάλλε τεὸν μὴ φειδομένως, βάλλ' ἄρτον ἀόκνως,
ὡς ἰχθῦσιν ἔλωρ, εἰς ἰοειδὲς ὕδωρ.
καὶ πάλιν εὑρήσεις καὶ τόνδε μετ' ἤματα πολλὰ,
κέρδος ἐπεὶ μέγα τὰ προῖκα δοθέντα φέρει.
μὴ ἀνελευθερίη ἐχέτω σέ τις, αὐτὰρ ἀφειδῶς
παντὶ μετὰ κτεάνων δὸς χατέουσι τεῶν.
οὐ γὰρ ἔτ' ἐσσόμεν' εὖ φρεσὶν οἶσθα κακὴ, οὔτε σοὶ ἦμαρ
ἤτοι σήμερον, ἢ αὔριον οἷα φέρει.
ἢν βεβαρημέν' ἔῃ νέφε' ὕδασ' ὑπ' αἰθέρι πολλοῖς,
χειμάρρους ἐπὶ γῆν ἐκ παραχεῦμα χέει.
εἴτε πρὸς ὑγρὸν ἀέντα νότον πιλνώμενον εἴτε
πρὸς βορέην νεύσῃ δένδρεον ἀκραέα:
εἰς μέρος ὁππότερον πέσῃ, ὡς πέσεν ἐν χθονὶ κεῖται,
καὶ μεταβαλλέμεναι οὐ δύναθ' ἣν ἔθ' ἕδρην.
νοῦν ἀνέμοις προσέχων ἀκριβέστερον ἢ δέον ἐστὶ,
σπέρμα κενοῖς δώσει οὐδέποτ' οὐδὲν ἀγροῖς.
χὡ δεδιὼς ὄμβρους, νεφέων τε μέγ' ὑψόθι βρῖθος,
εἰς καλιὴν ἄξει ἐν θέρει οὐδὲν ἑήν.
ὡς δὲ ἄνεμ' οὐκ οἶσθ', ὅθεν ἐσσύθ', ὅπῃ τ' ἀναχωρεῖ,
ὀστῶν τ' ἐν μήτρῃ τὴν πλάσιν ἀνδρομέων:
οὕτως ἰδμοσύνην θεοκτίστων οὐδενὸς ἔργων
ἀτρεκῆ, ὧν πάντῃ πάντα πλέ' ἐστὶν ἔχεις.
βάλλ' ὅταν ὥριον ᾖ σὸν πρωῒ σπέρμ' ἐπ' ἄρουραν,
μήτ' ὄψ' ὀκνηρὴ χεὶρ πάλιν ἡ σέθ' ἔοι.
κρείττων ὁππότερος γὰρ ἐν σπόρος, ἁδρότερός τε
οὐδενὶ εἰδέμεναι γεωπονοῦντι δοθῆ.
ἢν δὲ τὸ ὄψιμον ὂν τῷ πρωΐῳ ἰσοφαρίζῃ,
καὶ μάλα καρποφόρον σοὶ πέλῃ ἀμφότερον,

μείζονα

μείζονα δ' ἢ θεριστῆς δημήτερος ἱερὸν ἀκτήν,
οὔτ' ἀτυχὴς ἔσεαι ὧν σε μάλ' εἶχε ποθή.
εἰσὶ δ' ἐμὴν γλυκερὸν τὸ φόως τερψίμβροτόν ἐστι,
χαίρειν ἠελίου ὄμματ' ὁρῶντα σέλας.
εἰ καὶ πουλυετὴς γεγονὼς ἐχαρίσατο τερπνῶν
παντοίων κραδίῃ πολλά τις ἤματ' ἐπῆν:
λησάμενος πάντων τῶν γάννυτο κῆρ ἀπολαύων,
τῶν λυπρῶν μνήμων μοῦνον ἔτ', ἐστὶν ὅμως.
καὶ βίον αἰάζει μάλ' ὀϊζυρόν τε, πλέον τε
αἰνῶν παμπλείστων, ἀργαλέων τε κακῶν.
μαρτυρέων μεταμώλι' ἔμεν θυμήρεα θνητοῖς,
ὧν ἄρα χρῶ ἐπιὼν αὐτὸν ἄμερσε χρόνος.
ὄφρ' οὖν ἄνθος ἔχεις νέος ὢν πολυήρατον ἥβης,
τερπωλῆς γανόων φείδεο μηδεμιῆς.
ἥδεο δὲ ψυχήν, βροτὸς καθ' ἦμαρ ὥς κε δύναιτο,
δόστ' ἐρίηρα βλέπειν ὄμμασι, κῆρι φιλεῖν.
οὐκ ἔμπης ἐπιλησάμενος, θεὸς εἰς κρίσιν ἄξει
ὅττι σ' ὁ ἰθυκρίτης ὀρθοδικός τε πέλων,
καὶ σε λόγον δώσειν μεμνημένος οἱ περὶ πάντων,
ὅσσ' εὖ ἐν ζωῇ εἰργάσω, ἠὲ κακῶς,
εἶργε χόλον θυμοῦ, κακὸν ὁπλοτέροισιν ὀπηδόν.
σώματος, ὅσσα βλάβην οἶάθ' οἱ ἐστὶ φέρειν.
ἠλεὸν ἡ νεότης γὰρ χρῆμα τέτυκτ', ἀφραδές τε,
ὡς πρόσω ἡ ζωὴ τῆσδ', ὀπίσω τε βροτῶν.